**Βίοι Πινδάρου**

Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοκεφάλων· κώμη δέ ἐστι Θηβαϊκή· υἱὸς δὲ Δαϊφάντου, κατὰ δ᾽ ἐνίους Παγώνδα. ἔνιοι δὲ Σκοπελίνου αὐτὸν γενεαλογοῦσι, τινὲς δὲ τὸν Σκοπελῖνον πατρωὸν αὐτοῦ γενέσθαι καὶ αὐλητὴν ὄντα τὴν τέχνην διδάξαι. μητρὸς δὲ Κλεοδίκης· οἱ δὲ Κληδίκης γράφουσι. παῖς δὲ ὢν ὁ Πίνδαρος, ὡς Χαμαιλέων καὶ Ἴστρος φασί, περὶ τὸν Ἑλικῶνα θηρῶντα αὐτὸν ὑπὸ πολλοῦ καμάτου εἰς ὕπνον κατενεχθῆναι, κοιμωμένου δὲ αὐτοῦ μέλισσαν τῷ στόματι προσκαθίσασαν κηρία ποιῆσαι. οἱ δέ φασιν ὅτι ὄναρ εἶδεν ὡς μέλιτος καὶ κηροῦ πλῆρες εἶναι αὐτοῦ τὸ στόμα, καὶ ἐπὶ ποιητικὴν ἐτράπη. διδάσκαλον δὲ αὐτοῦ Ἀθήνησιν οἱ μὲν Ἀγαθοκλέα, οἱ δὲ Ἀπολλόδωρον λέγουσιν, ὃν καὶ προϊστάμενον κυκλίων χορῶν ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν τῷ Πινδάρῳ παιδὶ ὄντι, τὸν δὲ εὖ διακοσμήσαντα διαβόητον γενέσθαι. ἔρεισμα δὲ τῆς Ἑλλάδος εἰπὼν Ἀθήνας (fr. 76,2 M.) ἐζημιώθη ὑπὸ Θηβαίων χιλίαις δραχμαῖς ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι. ἦν δὲ οὐ μόνον εὐφυὴς ποιητής, ἀλλὰ καὶ ἄνθρωπος θεοφιλής … ἐπέβαλλε δὲ τοῖς χρόνοις Σιμωνίδῃ ᾗ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων. καὶ γὰρ Σιμωνίδης (*PMG* 536) τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε καὶ Πίνδαρος (fr. 272 M.) μέμνηται τῆς Κάδμου βασιλείας. ἀλλὰ καὶ ἀμφότεροι παρὰ Ἱέρωνι τῷ Συρακοσίων τυράννῳ γεγένηνται. γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ Καλλίνης ἔσχεν υἱὸν Δαΐφαντον, ᾧ καὶ δαφνηφορικὸν ᾆσμα ἔγραψεν (fr. 94c M.)· καὶ θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν. γέγραφε δὲ βιβλία ἑπτακαίδεκα· ὕμνους, παιᾶνας, διθυράμβων β, προσοδίων β· παρθενίων β, φέρεται δὲ καὶ γ ὃ ἐπιγράφεται κεχωρισμένων παρθενίων· ὑπορχημάτων β, ἐγκώμια, θρήνους, ἐπινίκων δ.

Πίνδαρος τὸ μὲν γένος Θηβαῖος, υἱὸς Δαϊφάντου κατὰ τοὺς ἀληθεστέρους· οἱ δὲ Σκοπελίνου· οἱ δὲ τὸν αὐτὸν Σκοπελίνου φασίν. οἱ δὲ Παγώνδα καὶ Μυρτοῦς, ἀπὸ κώμης Κυνοκεφάλων. ἡ δὲ Μυρτὼ ἐγαμήθη Σκοπελίνῳ τῷ αὐλητῇ, ὃς τὴν αὐλητικὴν διδάσκων τὸν Πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἕξεως ὄντα, παρέδωκε Λάσῳ τῷ Ἑρμιονεῖ μελοποιῷ, παρ᾽ ᾧ τὴν λυρικὴν ἐπαιδεύθη. γέγονε δὲ κατὰ τοὺς χρόνους Αἰσχύλου, καὶ συγγεγένηται, καὶ τέθνηκεν ὅτε καὶ τὰ Περσικὰ ἤκμαζον. ἔσχε δὲ θυγατέρας δύο, Εὔμητιν καὶ Πρωτομάχην. κατῴκει δὲ τὰς Θήβας, πλησίον τοῦ ἱεροῦ τῆς μητρὸς τῶν θεῶν τὴν οἰκίαν ἔχων. ἐτίμα δὲ τὴν θεὸν σφόδρα, ὢν εὐσεβέστατος, καὶ τὸν Πᾶνα, καὶ τὸν Ἀπόλλωνα, εἰς ὃν καὶ πλεῖστα γέγραφε. νεώτερος δὲ ἦν Σιμωνίδου, πρεσβύτερος δὲ Βακχυλίδου. κατὰ δὲ τὴν Ξέρξου κατάβασιν ἤκμαζε τῇ ἡλικίᾳ. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν Ἑλλήνων διὰ τὸ ὑπὸ τοῦ Ἀπόλλωνος φιλεῖσθαι οὕτως, ὡς καὶ μερίδα λαμβάνειν ἀπὸ τῶν προσφερομένων τῷ θεῷ, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις· Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος καὶ τὸν Πᾶνα εὑρῆσαί ποτε ᾄδοντα περὶ τοῦ Πέλοπος· λόγος δὲ ὅτι ποτὲ Λακεδαιμόνιοι Βοιωτοὺς ἐμπρήσαντες καὶ Θήβας ἀπέσχοντο μόνης τῆς οἰκίας αὐτοῦ, θεασάμενοι ἐπιγεγραμμένον τὸν στίχον τοῦτον· "Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε". ὅπερ καὶ τὸν Ἀλέξανδρον μετὰ ταῦτά φασι πεποιηκέναι· καὶ γὰρ οὗτος ἐμπρήσας τὰς Θήβας μόνης ἐκείνης ἐφείσατο. ἐχθρωδῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς τοὺς Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασιν· "ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθᾶναι" (fr. 76 M.), ἐζημίωσαν αὐτὸν χρήμασι Θηβαῖοι, ἅπερ ὑπὲρ αὐτοῦ ἔτισαν Ἀθηναῖοι. γέγραπται δὲ αὐτῷ ἑπτακαίδεκα βιβλία, ὧν τέσσαρα ἡ λεγομένη περίοδος λέγει τάδε· Ὀλυμπιονίκας Πυθιονίκας Ἰσθμιονίκας Νεμεονίκας. [ἔστι δὲ τὰ Ὀλύμπια ἀγὼν εἰς τὸν Δία, τὰ Πύθια ἀγὼν εἰς τὸν Ἀπόλλωνα, τὰ Νέμεα ἀγὼν καὶ αὐτὸς εἰς Δία, τὰ δὲ Ἴσθμια ἀγὼν εἰς Ποσειδῶνα. τὰ δὲ ἔπαθλα τούτων ἐλαία, δάφνη, σέλινον ξηρόν τε καὶ χλωρόν.] … τέθνηκε δὲ ὁ Πίνδαρος ἓξ καὶ ἑξήκοντα ἐτῶν γεγονὼς ἐπὶ Ἀβίωνος ἄρχοντος κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα (436-432 a.C.). ἤκουσε δὲ Σιμωνίδου. ὁ δὲ ἐπινίκιος οὗ ἡ ἀρχή· "Ἄριστον μὲν ὕδωρ" (*O.* 1,1), προτέτακται ὑπὸ Ἀριστοφάνους τοῦ συντάξαντος τὰ Πινδαρικὰ διὰ τὸ περιέχειν τοῦ ἀγῶνος ἐγκώμιον καὶ τὰ περὶ τοῦ Πέλοπος, ὃς πρῶτος ἐν Ἤλιδι ἠγωνίσατο. γέγραπται δὲ Ἱέρωνι βασιλεῖ Συρακουσίων· αἱ δὲ Συράκουσαι πόλις τῆς Σικελίας· ὃς καὶ κτίστης ἐγένετο Αἴτνης πόλεως, ἀπὸ ὄρους αὐτῆς οὕτως αὐτὴν ὀνομάσας. ἀποστείλας δὲ οὗτος ἵππους εἰς Ὀλυμπίαν ἐνίκησε κέλητι. τὸ μέτρον τούτου ὑπάρχει τριάς· τριὰς δέ ἐστι ποίημα ἐν ᾧ στροφή, ἀντίστροφος, ἐπῳδός.

### *PMGF* *TA1 (anon. *AP* IX 184 = *FGE* 1194-1203)

Πίνδαρε, Μουσάων ἱερὸν στόμα, καὶ λάλε Σειρὴν
   Βακχυλίδη Σαπφοῦς τ᾽ Αἰολίδες χάριτες
γράμμα τ᾽ Ἀνακρείοντος, Ὁμηρικὸν ὅς τ᾽ ἀπὸ ῥεῦμα
   ἔσπασας οἰκείοις, Στησίχορ᾽, ἐν καμάτοις,
ἥ τε Σιμωνίδεω γλυκερὴ σελὶς ἡδύ τε Πειθοῦς
   Ἴβυκε καὶ παίδων ἄνθος ἀμησάμενε
καὶ ξίφος Ἀλκαίοιο, τὸ πολλάκις αἷμα τυράννων
   ἔσπεισεν πάτρης θέσμια ῥυόμενον,
θηλυμελεῖς τ᾽ Ἀλκμᾶνος ἀηδόνες, ἵλατε, πάσης
   ἀρχὴν οἳ λυρικῆς καὶ πέρας ἐστάσατε.

### *PMGF* *TA2 (anon. *AP* IX 571 = *FGE* 1204-1211)

ἔκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
   ἡδυμελεῖ φθόγγῳ μοῦσα Σιμωνίδεω·
λάμπει Στησίχορός τε καὶ Ἴβυκος· ἦν γλυκὺς Ἀλκμάν·
   λαρὰ δ᾽ ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης·
Πειθὼ Ἀνακρείοντι συνέσπετο· ποικίλα δ᾽ αὐδᾷ
   Ἀλκαῖος, κύκνος Λέσβιος, Αἰολίδι.
ἀνδρῶν δ᾽ οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ᾽ ἐρατειναῖς
   ἐν Μούσαις δεκάτη Μοῦσα καταγράφεται.

### *PMGF* *TA3 (anon. *ap. schol.* Pind. I 10 Dr.)

ἐννέα τῶν πρώτων λυρικῶν πάτρην γενεήν τε
μάνθανε, καὶ πατέρας καὶ διάλεκτον ἄθρει.
ὧν Μιτυληναῖος μὲν ἔην, γεραρώτερος ἄλλων
Ἀλκαῖος πρότερος, ἠχικὸς Αἰολίδης.
ἣ δ᾽ ἐπὶ τῷ, ξυνὴν πάτρην φωνήν τε δαεῖσα
Σαπφὼ, Κληῗδος καὶ πατρὸς Εὐρυγύου.
Στησίχορος Σικελός· πάτρη δέ οἱ Ἱμέρα ἐστίν·
Εὐφήμου πατρὸς, Δωρικὸς ἁρμονίην.
Ἴβυκος Ἰταλὸς ἐκ Ῥηγίου ἠὲ Μεσήνης
Ἠλίδα πατρὸς, Δωρίδα δ᾽ ἡρμόσατο.
Παρθενίου δὲ πατρὸς λιγυρὸς πάις ἠὲ Σκυθίνου
Ἰάδι μελπόμενος, Τήιος Ἀνακρέων.
Πίνδαρος ἦν Θηβαῖος, ἀτὰρ πατρὸς Σκοπελίνου,
Δώριον αἰνήσας ἁρμονίην ἐπέων.
ἠδὲ Σιμωνίδεω Κείου Δωριστὶ λαλοῦντος
τὸν πατέρ᾽ αἰνήσας ἴσθι Λεωπρεπέα.
ἶσα δαεὶς καὶ Κεῖος ἐὼν γενεῇ μελοποιὸς
Μίλωνος πατέρος ἔπλετο Βακχυλίδης.
Ἀλκμὰν ἐν Λυδοῖσι μέγα πρέπει· ἀλλὰ Δάμαντος
ἐστὶ καὶ ἐκ Σπάρτης, Δωρίδος ἁρμονίης.

### *PMGF* *TB1 (*Comment.* Melamp. *sive* Diomed. Dion. Thr. p. 21 Hilg.)

ταῦτα οὖν τὰ ποιήματα καλεῖται λυρικά, ὡς ὑπὸ λύραν ἐσκεμμένα καὶ μετὰ λύρας ἐπιδεικνύμενα. Γεγόνασι δὲ λυρικοὶ οἱ καὶ πραττόμενοι ἐννέα, ὧν τὰ ὀνόματά ἐστι ταῦτα, Ἀνακρέων, Ἀλκμάν, Ἀλκαῖος, Βακχυλίδης, Ἴβυκος, Πίνδαρος, Στησίχορος, Σιμωνίδης, Σαπφώ, καὶ δεκάτη Κόριννα. ταύτην οὖν τὴν λυρικὴν ποίησιν δεῖ μετὰ μέλους ἀναγινώσκειν, εἰ καὶ μὴ παρελάβομεν μηδὲ ἀπομεμνήμεθα τὰ ἐκείνων μέλη.

### *PMGF* *TB2 (anon. *ap. schol.* Pind. I 11 Dr.)

λυρικοὶ ποιηταὶ μουσικῶν ᾀσμάτων ἐννέα· ἐννέα δὲ καὶ αἱ καθ' ἡμᾶς τῶν θείων ᾀσμάτων ᾠδαί. τὰ δὲ ὀνόματα τῶν προειρημένων λυρικῶν εἰσὶ τάδε· Ἀλκμὰν Ἀλκαῖος Σαπφὼ Στησίχορος Ἴβυκος Ἀνακρέων Σιμωνίδης Βακχυλίδης καὶ Πίνδαρος.
ἐννέα δὲ οἱ λυρικοί· Ἀλκαῖος Σαπφὼ Στησίχορος Ἴβυκος Βακχυλίδης Σιμωνίδης Ἀλκμὰν Ἀνακρέων καὶ Πίνδαρος.

### Quint. X 1,61 (cf. VIII 6,71 *principem lyricorum Pindarum*)

*nouem uero lyricorum longe Pindarus princeps spiritu, magnificentia, sententiis, figuris, beatissima rerum uerborumque copia et uelut quodam eloquentiae flumine: propter quae Horatius eum merito nemini credit imitabilem.*

### Hor. *Carm.* IV 2,1-27

*Pindarum quisquis studet aemulari,*
*Iulle, ceratis ope Daedalea*
*nititur pinnis, uitreo daturus*
   *nomina ponto.*
*monte decurrens uelut amnis, imbres*
*quem super notas aluere ripas,*
*feruet inmensusque ruit profundo*
   *Pindarus ore,*
*laurea donandus Apollinari,*
*seu per audacis noua dithyrambos*
*uerba deuoluit numerisque fertur*
   *lege solutis,*
*seu deos regesque canit, deorum*
*sanguinem, per quos cecidere iusta*
*morte Centauri, cecidit tremendae*
   *flamma Chimaerae,*
*siue quos Elea domum reducit*
*palma caelestis pugilemue equomue*
*dicit et centum potiore signis*
   *munere donat,*
*flebili sponsae iuuenemue raptum*
*plorat et uiris animumque moresque*
*aureos educit in astra nigroque*
   *inuidet Orco.*
*multa Dircaeum leuat aura cycnum,*

*tendit, Antoni, quotiens in altos*
*nubium tractus*

**Pind. fr. 193 M.**

πενταετηρὶς ἑορτά
βουπομπός, ἐν ᾇ πρῶτον εὐ-
νάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις

**Pind. *P.* 5,72-76**

τὸ δ᾽ ἐμὸν γαρύει
ἀπὸ Σπάρτας ἐπήρατον κλέος,
ὅθεν γεγενναμένοι
ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,
ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ, ἀλλὰ Μοῖρά τις ἄγεν